τριάκοντα δοκοί, αἱ τοῦ μηνὸς τριάκοντα ἡμέραι εἰσίν.
αἱ δὲ περιερχόμεναι δύο γυναῖκες ἡ ἡμέρα ἐστὶ
καὶ ἡ νύξ. ἄλλη παρ' ἄλλην προσευδόμεναι τὸν καθη-
μερινὸν ἀνθρώπων διευθύνουσαι βίον. καὶ τοῦτο εἰπὼν ἐπ-
έλυσεν αὐτῷ τὸ ζήτημα. τῇ δὲ ἑξῆς ἡμέρᾳ συναγαγὼν
ὁ νεκτεναβὼ ἅπαντας τοὺς φίλους, λέγει πρὸς αὐτούς,
διὰ τὸν αἴσωπον τοῦτον μέλλομεν φόρους τελεῖν λυκούρ-
γῳ τῷ βασιλεῖ βαβυλωνίων. εἷς δὲ τῶν μεγιστάνων
αὐτοῦ ἔφη, ἐπερωτήσωμεν προβλήματα καὶ φρασάτω
ἡμῖν ὃ οὔτε ἴδομεν, οὔτε ἠκούσαμεν. καὶ ὃ δ' ἂν εἴ-
πῃ, ἡμεῖς ἐροῦμεν. τοῦτο ἡμεῖς ἠκούσαμεν καὶ ἴδομεν.
ἀρεσθεὶς οὖν ἐπὶ τούτῳ νεκτεναβὼ, εἶπεν, αἴσωπε, φρά-
σον ἡμῖν τι ὃ οὔτε ἠκούσαμεν οὔτε ἴδομεν. ὁ δὲ φη-
σί, ἐνδότε μοι ἡμέρας τρεῖς καὶ ἀποκριθήσομαι.